319 Θεος. ιερά.
Pal 920
X 800

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

ΤΟΥ ΕΝ ΟΡΕΙ ΝΕΟΤΑΚΟΥ ΤΗΣ ΕΥΒΟΙΑΣ ΑΣΚΗΣΑΝΤΟΣ

Ψαλλομένη τῇ ΚΓ´ Αὐγούστου

ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΙΔΟΤΑΙ
ὑπὸ τῶν
ΑΔΕΛΦΩΝ ΑΘΑΝΑΣΙΑΔΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ — ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ
ΑΔΕΛΦΩΝ ΑΘΑΝΑΣΙΑΔΟΥ
*ΕΝ ΧΑΛΚΙΔΙ* — «ΟΔΟΣ ΑΒΑΝΤΩΝ»

1896 = 1894
1894

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΥ
## ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

ΤΟΥ ΕΝ ΟΡΕΙ ΝΕΟΤΑΚΟΥ ΤΗΣ ΕΥΒΟΙΑΣ ΑΣΚΗΣΑΝΤΟΣ

ΨΑΛΛΟΜΕΝΗ Τῌ ΚΓ΄ ΑΥΓΟΥΣΤΟΥ

*ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΙΔΟΤΑΙ*

ὑπὸ τῶν

**Ἀδελφῶν Γ. Ἀθανασιάδου**

**Τῌ ΕΠΙΜΕΛΕΙᾼ**

ΤΩΝ ΕΠΙΤΡΟΠΩΝ ΤΟΥ ΕΝ ΜΕΤΟΧΙῼ ΝΑΟΥ

**Δημ. Μαγείρου** *καὶ* **Δημ. Κριτσιμᾶ**

*Πρὸς χρῆσιν καὶ ὠφέλειαν τῶν Ὀρθοδόξων.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΧΑΛΚΙΔΙ

ΕΚ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
**ΑΔΕΛΦΩΝ Γ. ΑΘΑΝΑΣΙΑΔΟΥ**

Ὁδὸς Ἀβάντων

1894

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ

ΤΟΥ ΕΝ ΟΡΕΙ ΝΕΟΤΑΚΟΥ ΤΗΣ ΕΥΒΟΙΑΣ ΑΣΚΗΣΑΝΤΟΣ

**Ψαλλομένη τῇ ΚΓ.΄ Αὐγούστου.**

**Ἑσπέρας εἰς τὸν προοιμιακὸν ψαλμὸν.** *Μακάριος ἀνὴρ* **Εἰς τὸ** *Κύριε ἐκέκραξα* **ἱστῶμεν στίχους Η.΄ πρῶτον τῆς ἑορτῆς, εἶτα τοῦ ἁγίου.**

*Ἦχος δ΄* *Ὡς γενναῖον ἐν Μάρτυσιν*

Τῆς ψυχῆς τὴν ἀκρόπολιν, λογισμῶν οὐ κατέσεισαν, προσβολαὶ μακάριε· σὺ γὰρ ἔπαλξιν, ὥσπερ τὴν σὺν προβαλλόμενος, στερέμνιον ἄσκησιν, διετήρησας σαυτὸν, τοῦ δεινοῦ πολεμήτορος, ἀπαράτρωτον καὶ ἀσήμαντον ὅλως καὶ παρέστης, τῷ Δεσπότῃ τῶν ἁπάντων νικητικῶς στεφανούμενος.

Τὸν ἐγκάρδιον ἔρωτα, ὑποφαίνων τοῖς δάκρυσι, κατανύξει ἔνδοξε, γῆν κατέβρεχες καὶ ταῖς θριξὶν ἐναπέματτες, Χριστοῦ ὑποπόδιον, ἐννοῶν τε καὶ αὐτὸν, ὡς παρόντα καὶ βλέποντα· ὃν ἐπόθησας, καὶ ἴχνῶν ἐπελάβου διανοίας, θεωρίαις Θειοτάταις, τὴν σὺν ψυχὴν αὐγαζόμενος.

Οὐχ ὁδοῦ μῆκος ἴσχυσεν, οὐδὲ τόπων δυσχέρεια, παραλῦσαι Ὅσιε τὸ διάπυρον, τῆς πρὸς Θεὸν ἐκδημίας σου· κἀκεῖ γὰρ γενόμενος καὶ τοῖς τόποις εὐφρανθεὶς οὗ οἱ πόδες ἐπάτησαν τοῦ Θεοῦ ἡμῶν, οὐκ ἠμέλησας ὅλως εἰμὴ φθάσῃς δι᾿ ἀσκήσεως καὶ πόνων, καὶ πρὸς Σιὼν τὴν οὐράνιον.

Ὡς ἀστέρα παγκόσμιον, νοητῶς ἀνατείλαντα τῷ τῆς ἐκκλησίας σε στερεώματι, ἀνευφημοῦμεν Νικόλαε ταῖς θείαις σου λάμψεσι φωτιζόμενοι ἀεὶ καὶ ψυχὴν καὶ διάνοιαν, οἱ τιμῶντες, σου, τὴν φωσφόρον ἡμέραν ἐτησίως, ἱερὲ θαυματοφόρε,

τῶν μοναζῶν ἐγκαλλώπισμα.

Οὐρανίαις ἐλλάμψεσι, φωτισθεὶς τὴν διάνοιαν, τὸ τῆς πλάνης ἔφυγε σκότος ἔνδοξε, καὶ τῷ φωτὶ προσεπάλασας, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ταῖς χάρισιν αὐτοῦ καταυγάζεις τὰ πέρατα· διὸ πρέσβευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα ἦχος πλ. α΄.

Ὅσιε Πάτερ Νικόλαε, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ τοῦ Κυρίου ἀκούσας, τὸν κόσμον κατέλιπες, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος, μηδὲν προτιμήσας τῆς ἀγάπης αὐτοῦ. Ὅθεν τὸν ζυγὸν αὐτοῦ τὸν ἐλαφρότατον, ἐπ᾽ ὤμων ἀναλαβών, πᾶσαν ἄσκησιν χαίρων πολιτευσάμενος, ἠγωνίσω ὡς ἄσαρκος, ἐν πολιτείᾳ καὶ συντόνοις δεήσεσιν αὐτῷ ἀκολουθῶν διὸ καὶ θαυμάτων πληθὺν σὲ κεκόσμησεν ὃν ἐπόθησας ἐκ βρέφους Χριστὲ Θεοῦ, ἀλλ᾽ ὦ πάτερ Ὅσιε μὴ ἐλλείποις πρεσβεύειν αὐτῷ ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν ἦχος ὁ αὐτὸς τῆς ἑορτῆς. Εἴσοδος τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα

## ΑΝΑΓΝΩΣΜΑΤΑ

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. δ΄ 7—16.)**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Δια τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (*Κεφ. γ΄ 1—10.*)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα, παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ, διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν· καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα· (*Κεφ. ε΄. 16—24. ς΄. 1—5.*)**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐ

τῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει την κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρης ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Εἰς τὴν Λιτὴν στιχηρὸν τῆς Ἑορτῆς**

*Εἶτα τὰ σχ. τοῦ Ἁγίου ἦχος .Β′.*

Ὅσιε πάτερ Νικόλαε, ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ ἁγίου Πνεύματος, καὶ παρ᾽ αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους καταφρονεῖν τῶν Γηίνων, καὶ τῷ Χριστῷ ἀκολουθεῖν, νῦν δὲ τῷ θείῳ φωτὶ καθαρώτερον ἐλαμπρόμενος, αἴτησαι καὶ ἡμῖν φωτισμὸν καὶ τὸ μέγα ἔλεος.

**Ὁ Αὐτὸς**

Τὸν ἐπὶ Ἄγγελον, καὶ ἐν οὐρανοῖς ἄνθρωπον τῶν Ἀσκητῶν τὸ καύχημα, Νικόλαον τὸν θεῖον ὑμνήσωμεν πι-



στοί, οὗτος γὰρ ὡς ἀληθῶς πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐξήνθησε δικαίως, καὶ νῦν ἐν Οὐρανοῖς παριστάμενος πρεσβεύων ὑπὲρ τῶν τιμώντων αὐτοῦ τὴν Ἱερὰν μνήμην, τοῦ δοῦναι ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος.

**Δόξα, ἦχος πλ. α′**

Ὅσιε πάτερ, οὐκ ἔδωκας ὕπνον τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν Ψυχὴν καὶ τὸ Σῶμα τῶν παθῶν ἠλευθέρωσας, καὶ σεαυτὸν ἡτοίμασας, τοῦ Πνεύματος καταγώγιον, ἐλθὼν γὰρ ὁ Χριστὸς, σὺν τῷ Πατρί, Μονὴν παρὰ σοὶ ἐποίησαντο, καὶ τῆς ὁμουσίου τριάδος θεράπων γενόμενος, τοῦ Νεοτάκου τὸ καύχημα, πρέσβευε ὑπὲρ ἡμῶν τῇ τριάδι πάτερ Νικόλαε, τοῦ λυτρωθῆναι κινδύνων καὶ σωθῆναι τὰς Ψυχὰς ἡμῶν.

**Καὶ νῦν τῆς Ἑορτῆς**

**Ἀποστιχ. τῆς Ἑορτῆς τά ἰδιόμελα. Δόξα τοῦ Ὁσίου, ἦχος πλ. δ.′**

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητὴν σε τιμῶμεν, Πατὴρ ἡμῶν Νικόλαε, διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν περεύεσθαι ἔγνωμεν, μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συμμέτοχε, Ὁσίων ὁμόσκηνε καὶ Δικαίων, μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς Ψυχὰς ἡμῶν.

**Καὶ νῦν τῆς Ἑορτῆς**

**Ἀπολυτίκιον ἦχος ά.**

Τὸ Σῶμα ταπεινώσας, ἐν νηστείαις καὶ εὐχαῖς, καὶ ἐν ἀγρυπνίαις πανύχοις τε, ἑαυτὸν κατατριχῶν, ὥσπερ Ἄγγελος ἐν γῇ ἐβίωσας Πάτερ, καὶ τοὺς πόνους τῶν ἀρετῶν νῦν δρεπόμενος. Δόξα τῷ δεδοκότι σοὶ ἰσχὺν δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσα ἰάματα.

**Καὶ νῦν τῆς Ἑορτῆς**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Εἰς τὸν Ὄρθρον, καθίσματα τῆς Ἑορτῆς μετὰ δὲ τὸν Πολυέλεον, κάθισμα τοῦ Ὁσίου, ἦχος πλ. δ'.**

**Τὴν Σοφίαν καὶ λόγον Θεοῦ.**

Συνελθόντες τὰ πλήθη τῶν Μοναστῶν, τῆς ἡμῶν συναυλίας τὸν ἀρχηγόν, ὑμνήσωμεν σήμερον. Ἱεροῖς μελωδήμασιν τῶν μοναστῶν τὸ κλέος, Νικόλαον τὸν ἔνδοξον ἐν τῷ ὄρει νεότακος λαμπρῶς ἐνασκήσαντα, ὅθεν ἐπαξίως τῶν θαυμάτων, τὰ πλήθη, ὁρῶντες δοξάζεσθε τὸν δοξάσαντα Κύριον, καὶ αὐτῷ ἀνακράζομεν πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Εἶτα τῆς Ἑορτῆς Οἱ ἀναβαθμοί, τὸ α'. ἀντίφωνον τοῦ δ. ἤχου προκείμενον.*

Τίμιος ἐναντίον στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, τὸ πᾶσα πνοή. Εὐαγγέλιον Ὁσιακόν. Δόξα ταῖς τοῦ σοῦ Ὁσίου καὶ νῦν ταῖς Θεοτόκου. Ἰδιόμελον ἦχος. β'. Ὅσιε πάτερ Νικόλαε, ἐκ βρέφους. Οἱ Κανόνες τῆς Ἑορτῆς ἀπαραλλάκτως. Καὶ τοῦ Ὁσίου ὁ Κανὼν οὗ ἡ ἀκροστιχὶς Νικολάῳ τὸν ὕμνον ἐκ πόθου πλέκω ὁ τάλας Ὠδή. Α'

**Ἦχος. πλ. δ. Ἁρματηλάτην Φαραὼ**

Νῦν μετὰ πάντων τῶν Ἁγίων Ὅσιε παρεστικῶς τῷ Θεῷ, καὶ τριλαμποῦς αἴγλης, ὁλικῶς πληρούμενος τὸν νοῦν μου φωταγώγησον, ἀνυμνῆσαι ἀξίως, τὰ σὰ σεπτὰ κατορθώματα καὶ τὸν ἁγιώτατον βίον σου.

Ἱερωτάτως ἀπὸ βρέφους Ὅσιε λαμπρῶς ἐδόξασεν, σαφῶς ὁ Κύριος, τῆς σῆς Ψυχῆς βλέπων τὴν μεγαλειότητα καὶ τοῦ νοὸς τὸ στάσιμον καὶ τοῦ ἤθους τὸ πρᾷ ν καὶ τὴν φιλάνθρωπον γνώμην σου. Πάτερ γενναιόφρον Νικόλαε.

Καταγαυσθεὶς ταῖς ἀστραπαῖς τοῦ Πνεύματος πρὸς τὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τοῦ Νεοτάκου ἐρημικὰ Ὄρη ἐκ δυσμῶν ἀνέδραμες καὶ Ψυχὰς κατεφώτισας, ἁμαρτίας τῷ ζόφῳ καλυπτομένας Νικόλαε, καὶ πρὸς σωτηρίαν ὁδήγησας.

**Θεοτοκίον**

Ὁ προαιώνων σὺν Πατρὶ καὶ Πνεύματι, ὑπάρχων λόγος Θεοῦ, ἐκ τῆς σεμνῆς Κόρης, ὅλον με τὸν Ἄνθρωπον, ἀναλαβών, ἐθέωσεν καὶ κατῴκησεν πάλιν, ἐν Παραδείσῳ δι' ἄφατον, καὶ ἀνυπερμέτρητον ἔλεος.

**Ἕτερος κανὼν τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχὶς Πατρὸς οἰκροῦ δέησις ὑπὲρ τοῦ τέκνου ᾠδή. α. ἦχος πλ β.' Κύματι Θαλάσσης**

Πεποιθὼς παμμάκαρ, χρηστότητος τρόπων τῶν σῶν, προθύμως σοι ᾠδὴν ἀνέλαβον, ἀλλά μοι τῆς διανοίας τὸ ζοφῶδες ἀποκάθαρον, φωτοβόλον ἔλλαψιν δωρούμενος Νικόλαε.

Ἀπαθείας ἔρως, θερμῶς σὲ κατέσχεν, ἐκ βρέφους Ὅσιε, διὸ ἐμάκρυνας, τὰ ὑλικὰ τῶν τοῦ Κόσμου, παθημάτων καὶ κατέλαβες, πηγαίαν ἔλλαψιν, παμμάκαρ τῆς Θεότητος.

Τῆς φωτοχυσίας τῆς θείας ταῖς αἴγλαις περιχεόμενος, Κόσμον ἐμίσησας, καὶ Σικελίας ἀπάρας, σῆς Πατρίδος πρὸς τὸ νέκτακος, Ὄρος προσεπέλασας, ὑμνολογῶν τὸν κτίστην σου

**Θεοτοκίον**

Ῥῦσαι τοὺς σοὺς δούλους πανάχραντε Κόρη, ἐκ πάσης θλίψεως καὶ διαφύλαττε, πρὸς τὸν υἱόν σου χρωμένη, ἱκεσίας Ἀειπάρθενε, ἔχεις γὰρ τὸ δύνασθαι ἔχεις, τὸ βούλεσθαι οἷα μήτηρ παντάνακτος

**ᾠδὴ γ.' Ὁ Στερεώσας κατ' ἀρχὰς**

Λαβὼν τὸν σὸν Πάτερ Σταυρὸν ἐπὶ τῶν ὤμων τρισμάκαρ ἠκολούθησας τῷ πλάσαντι λόγῳ, Σταυρὸν καὶ τὴν ταφὴν καὶ τὰ σεπτὰ παθήματα δι' ἄκραν εὐσπλαγχνίαν ὑπὲρ ὑμῶν.

Οντως τὸ πρόσωπον ὁρᾷς, Νικόλαε τοῦ Κυρίου, καὶ τῆς τούτου ὡραιότητος Πάτερ, ἀπολαύεις καθαρῶς, ὑπὲρ ἡμῶν οὖν πρέσβευε, τῶν ἐπικαλουμένων, σοῦ τὸ πανάγιον ὄνομα.

Ω παλαισμάτων ἱερῶν, ὢ νίκης ἐπουρανίου, ἣν ἐνίκησας σαφῶς Νικόλαε μακάριε, τὸν ἀσώματον ἐχθρὸν, ἐν ἀσθενείᾳ σώματος, ψυχῆς δὲ προθυμίᾳ, καὶ τοῦ νοὸς σταθερότητα.

**Θεοτοκίον**

Τὴν τῶν Ἀγγέλων χαρμονὴν, τὴν τῶν Ἁγίων Ἁγίαν τοῦ Θεοῦ Μητέρα σὲ ὑμνοῦντες, ἱκετεύομεν Ἁγνὴ, ὑπὲρ ἡμῶν τὸν Κύριον καὶ Θεὸν ὡς υἱόν σου ἐξιλεοῦσθαι πανύμνητε.

**Ἄλλος.** *Σὲ τῶν ἐπὶ ὑδάτων*

Ολως ἀπὸ σπαργάνων ἡγίασας, ἀρετῶν ταῖς ἰδέαις, καὶ τὸ τῆς σωφροσύνης, παραδεικνύει σοῦ γεώρισμα, τὸ μηδαμῶς εἰσέρχεσθαι γυναῖκας ὅσιε, οἶκον θεῖον ὃν ἀνήγειρας.

Σὺ αἰχμαλώτους πλείστους, διέσωσας μετὰ σοῦ κρατουμένους, καὶ γὰρ τὸ τῆς θαλάσσης ὕδωρ πικρὸν εἰς γλυκύτητα, μεταβαλὼν ἐξέπληξας, ἐθνῶν συστήματα, Πάτερ Ὅσιε Νικόλαε.

Ολην τοῦ Παρακλήτου μακάριε, τὴν αὐγὴν εἰσεδέξω, διὸ καὶ τῶν θαυμάτων, τὸ σὸν τὸ πλῆθος μὴ φέροντες, αἱ τῶν Δαιμόνων φάλαγγες ἐδραπετεύοντο μόνον τῇ σκιᾷ τῆς ῥάβδου σου.

**Θεοτοκίον**

Ἴδε τὴν θλίψιν ἴδε Πάναγνε, ψυχῆς καὶ τοῦ σαρκίου, καὶ σωφροσύνης ἔμπλησον, τὴν θαυμαστὴν σου ἐνδείξασα, χάριν τῶν τεραστίων σου, σὲ γὰρ κεκτήμεθα πάν-



τας λύτρον ἐν ταῖς θλίψεσιν.

**Καθ. Ἦχος πλ. δ.**

*Τὴν σοφίαν καὶ λόγον Θεοῦ*

Συνελθόντες οἱ πάντες χαρμονικῶς, τῆς ἡμῶν συναυλίας τὸν ἀρχηγὸν, ὑμνήσωμεν σήμερον, ἱεροῖς μελοδήμασι, τὸν τοῦ Νεοτάκου κλέος, τὸν νοῦν τὸν Οὐράνιον, τοῦ παναγίου Πνεύματος, τὸ ἅγιον τέμενος, τὸν ἀσκήσει λάμψαντα λαμπρότατον Ἥλιον, καὶ τὸ ζοφῶδες νέφος, Δαιμόνων ἐλάσαντα, οὗ καὶ τὴν εἰκόνα τὴν σεπτὴν προσκυνοῦντες, καὶ κατασπαζόμενοι ὁμοφώνως βοήσωμεν, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ τῆς Ἑορτῆς ᾠδὴ δ.**

*Σύ μου Χριστὲ Κύριος, Σύ μου καὶ δύναμις*

Ο μὲν Μωσῆς, εἶδεν Θεοῦ τὰ ὀπίσθια, ἐν τῷ ὄρει τῷ Σινᾶ Νικόλαε, εἶδες δὲ σὺ τοῦτον οὐ προφανῶς, τὸ πρόσωπον Πάτερ ἐν ὄρεσι τοῖς τοῦ Νεοτάκου, ἐν οἷς καὶ τὴν σεπτήν σου συνεπήξω καλύβην, ὅπως βλέπῃς ἀεὶ τὸν ποθούμενον.

Νόμους Θεοῦ, Πάτερ θεόφρων Νικόλαε, μελετήσας ἐν πλαξὶν ἐντύπωσας τῶν καρδιῶν τῶν σῶν φοιτητῶν, δι' ὧν συνετίζεις τὸ ποίμνιόν σου μακάριε καὶ χρόνων περιόδοις, ἐκπληροῖς τὴν σὴν μάνδραν, ἣν εἰς δόξαν Κυρίου συνέστησας.

Ἀπὸ Θεοῦ θαυματουργίας χαρίσματι, ἐκοσμήθης ἱερὲ Νικόλαε, καὶ διὰ τοῦτο τῷ σῷ Ναῷ προστρέχοντες Πάτερ, αἰτούμεθά σου, κατάπεμψον ἀπαλλαγὴν, καὶ παντοίων κινδύνων, ὅπως χρεωστικῶς ἀνυμνοῦμέν σε.

**Θεοτοκίον**

Μὴ ἀποστὰς τῶν κόλπων τοῦ σοῦ γεννήτορος, ἐν τοῖς κόλποις τοῖς σοῖς ἐπεδήμησεν, ὁ τοῦ πατρὸς λόγος,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ Θεὸς καὶ σάρκα φορέσας ἐκ τῶν αἱμάτων σου Πάναγνε, τὴν φύσιν τῶν ἀνθρώπων ὅλως ἔλαβεν, ὅλως καὶ αἰώνιος μένει θεάνθρωπος.

**Ἄλλος.** *Τὴν ἐν Σταυρῷ σου Θείαν κένωσιν.*

**Κ**ατοικητήριον δειμάμενος, ἐν αὐτῷ μοναχῶν συνήθροισας τὰ πλήθη καὶ τούτων προηγούμενος, θεῖος ὡς ἐπὶ χλόην προσῆξας τῆς ἀναπαύσεως.

**Τ**ῶν σῶν δακρύων κατεπόντισας, τῇ ῥοῇ τοῦ ἐχθροῦ τὰς φάλαγγας θεόφρων πῦρ σῷ δὲ τῶν θαυμάτων σου ζόφον ὀδυνῶν, διακόπτεις, θεράπων τοῖς προσιοῦσί σοι.

**Ρ**ώμην Χριστοῦ περιζωσάμενος, μοναζόντων κανὼν, πληρέστατος ἐδείχθης, δι᾽ ὀπτασίας πάνσοφε, τέμενος θεῖον ἀνεγείρας εἰς κλῆσιν τοῦ συνωνύμου σου.

**Θεοτοκίον**

**Ο**ἱ περιστάσεσι κυκλούμενοι, τῇ σῇ σκέπῃ Ἁγνὴ, ἀεὶ προσπεφευγότες, εὑρίσκομεν τὴν ἴασιν, πάντων τῶν δεινῶν παναγία παρθένε πιστῶν βοήθεια.

**Ὠδὴ ε.᾽** *Ἵνα τί με ἀπώσω*

**Ν**έος ὥσπερ Ἠλίας τοῖς βιωτικοῖς ἔφυγες θορύβοις Ὅσιε καὶ ἐν ταῖς ἐρήμοις, ἐκαρτέρεις ρυθμίζων ἑκάστοτε, τὰς αἰσθήσεις πάσας, ὄμμα καὶ οὖς, ἁφὴν καὶ γεῦσιν καὶ τὴν ὄσφρησιν πάτερ Νικόλαε.

**Ο** θεόσοφος νοῦς σου, πάτερ ὡς ἡνίοχος ἐμπειρικώτατος, ἐχαλιναγώγει, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν σου, καὶ πρὸς δρόμον τούτοις, τῶν ἐφειμένων ἐνεδίδου πρὸς ὁρμὴν δὲ κατεῖχε τὴν ἄτεκτον.

**Ν**ικητὴς τροπαιοῦχος τῶν πνευμάτων ἐδείχθης Μακάριε τῶν τῆς πονηρίας, προσευχαῖς καὶ νηστείαις σχολάζων ἀεὶ, καὶ τὸν νοῦν ὡς ξίφος ἐστομωμένον κατ᾽ ἐκείνων, ἀνατείνων ἰσχύει τοῦ Πνεύματος.



**Θεοτοκίον**

**Ε**κ πλευρᾶς μὲν τὴν Εὔαν τοῦ Ἀδὰμ ὁ Κύριος καὶ Θεὸς ἔπλασεν, ἐκ δὲ τῶν αἱμάτων, τῶν ἀχράντων σου σάρκα πηξάμενος ὅλον μὲν τὸν ἄνθρωπον ἑαυτῷ φρικτῶς ἑνώσας, ἀνεκτήσατο Θεογεννήτρια.

**Ἄλλος** *Πρὸς σὲ ὀρθρίζω*

**Υ**ψηλοτάτης, κορυφῆς τοῦ νεοτάτου κατὰ φάραγγα δεῦτε φῶς ἄϋλον κατοπτεύσωμεν ἔνθα σὺ Πάτερ σεπτὸν Οἶκον ἐγείρας Θεοῦ, ἐκ μονῆς τῶν χαράδρων πλείστους εἵλκυσας.

**Δ**εῦτε τὸ πλῆθος, τῶν συναθροισθέντων καταστέψωμεν ὕμνοις, τὸν ὅσιον Κυρίου Νικόλαον, νῦν καὶ δοξάσωμεν πάντες τὸν Θεὸν δι᾽ αὐτοῦ, ἐν αἰνέσει καρδίας ἀνυμνοῦντες αὐτόν.

**Ε**κὼν πτωχεύσας, τῷ πνεύματι Πάτερ καθαρῶς, ἐ-ποπλεύεις , τὴν ἀθάνατον δόξαν, τὴν ἐν Θυρανοῖς, καὶ τὸν ἄρραστον πλοῦτον σαφῶς, τὴν εἰρήνην, αἰτούμενος τοῖς δούλοις σου.

**Η** φωτοδόχος στάμνος, ἡ τὸ Μάννα βαστάσασα Παρθένε τὴν ψυχήν μου αἰχμῶσαν καὶ λιμώττουσαν. Σὺ θρέψον με πεινῶντα τὸν ἄρτον ζωῆς, καὶ τὸ πόμα με πότισον τῆς χάριτος.

**Ὠδὴ στ.᾽** *Ἱλάσθητί μοι Σωτὴρ*

**Κ**ανόνα τῶν ἀρετῶν, καὶ τῶν θαυμάτων σε πέλαγος ἀνέδειξεν ὁ Χριστὸς, τρισμάκαρ Νικόλαε, ταῖς σαῖς φωταυγείαις, τῆς κακίας τὴν σκοτόμενα.

**Π**ατὴρ καὶ σωφρονιστὴς, πολλῶν ἐγένου Μακάριε διὸ καὶ πλήθη πολλὰ, ὀπίσω σου ἔδραμον, καὶ καθωδηγήθησαν, ταῖς σαῖς νουθεσίαις, εἰς πορείαν τὴν Οὐράνιον.

**Ο** λόγος σου γλυκασμὸς, ὑπῆρχεν ἀγαλλιάσεως πικρίαν ἀποσοβῶν ἀνθρώπων τοῖς πάθεσιν, καὶ πόνων καὶ θλι-

ψεων, περιπεπτωκότων ὁσιώτατε Νικόλαε.

**Θεοτοκίον**

Θεογεννήτωρ ἁγνή, τὸν σὸν υἱὸν καὶ Θεὸν ἡμῶν ἱκέτευε ἐκτενῶς ὑπὲρ τῶν ὑμνούντων σε, τὴν ὄντως βεβαίαν, προστασίαν καὶ ἀντίληψιν,

**Ἄλλος.** *Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη*

Σὺ τὸν κτίστην, Ὅσιε ζητήσας, κόσμον παντοίας ἡδονὰς ἀπηρνήσω, καὶ τούτου ἐπὶ ὤμων τὸν Σταυρὸν βαστάσασα ἀπενεκρώθης, ὅθεν καὶ ἐν Οὐρανοῖς νῦν συμβασιλεύεις, αὐτῷ χαίρων γέρα τῶν πόνων σου ἀπολαύων τρανῶς, δοῦλος ὡς εὐγνώμων, παμμακάριστε.

Ἱκετεύειν, ἀεὶ μὴ ἐλίπῃς Πάτερ ὑπὲρ δούλων τῶν σῶν, τῶν νῦν συναθροισθέντων ἐν τῷ Οἴκῳ τῷ σεπτῷ σου τούτῳ, ὧν ἐδομήσω μοναστῶν εἰς ἄθροισμα, ἐπ' ὀνόματι τοῦ ἱεράρχου, ἀλλὰ καὶ πόρρωθεν, οἱ τιμῶντες τὴν σὴν μνήμην, τῶν δεινῶν τὴν λύσιν εὕρωσι.

Συνεδέθης, πόθῳ τοῦ Κυρίου μόνον ἐκζητήσας, αὐτῷ καὶ εὑρὼν ὡς ἐπόθεις, ἀνεκράθης αὐτοῦ τῇ ἐφέσει, διὸ τοῦ κόσμου τὰ τερπνὰ ὡς σκύβαλα ἡγήσω, ὡσεὶ ἀράχνην, ὡς σκιάν, διὸ ὁ κτίστης σὲ χάριτος ἀξιοῖ τῶν θαυμάτων, πάτερ Νικόλαε.

**Θεοτοκίον**

Ὑμνῳδίαις τὰ σὰ μεγαλύνω, Κόρη πανθαύμαστε ἁγνή, σὺ γὰρ ἐμεγαλύνθης, ἐκ πασῶν γενεῶν, ὡς ἔφης μόνη Παρθένος, μετὰ τόκον μείνασα, παντευλόγητε δεδοξασμένη, ἡ οὐρανώσασα τὴν φύσιν, τὴν τῶν βροτῶν, πρώην οὖσαν ὅλως ἔκπτωτον.

**Κοντάκιον** *Τῇ ὑπερμάχῳ*

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ σὺ ἀνακείμενος φωστὴρ ἐδείχθης φαεινὸς Εὐβοίας πάνσοφε, ἐχρημάτισας Ὁσίων ἐγκαλλώπισμα, πολιστὴς τε Ὄρους τοῦ νεότακος, Ἀσκητῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ



τε θεῖον ἔρεισμα, τῶν σὲ τιμώντων πρεσβευτὴς ἑτοιμώτατος διὸ κράζομεν, χαίροις πάτερ Νικόλαε.

**Ὁ οἶκος.**

Ὑπὸ τῆς ἄνωθεν προνοίας ὁδηγηθεὶς Ὅσιε τὴν Σικελῶν περιφανῆ πατρίδα καταλέληπας, καὶ τὴν Εὔβοιαν καταλαβὼν καὶ ὄρος τε ἀναδραμὼν τοῦ Νεοτάκου ὡς φωστὴρ ἐν αὐτῷ ἐξέλαμψας, φωτοφανίας τε ἠξιώθης, ὡς Μωϋσῆς ὁ θεῖος καὶ τῷ Θεῷ προσεγγίσας καὶ προσομιλήσας χάριν ἰαμάτων εἴληφας μακάριε, νόσους ἀποδιώκειν, καὶ πάθη χαλεπὰ ἰατρεύειν, τῶν ἐν πίστει προστρεχόντων ἐν τῷ θείῳ τεμένει σου σὺν πόθῳ καὶ ἡμεῖς ἑστῶτες σὲ τὸν καλὸν ἡμῶν ποιμένα πρέσβυν πρὸς Θεὸν προβαλλόμεθα, οἱ ἐκτελοῦντες τὴν ἀεισέβαστον μνήμην σου, διὸ κράζομεν, χαίροις πάτερ Νικόλαε.

**Τῷ αὐτῷ μηνί, κγ' μνήμη τοῦ ὁσίου καὶ Θεοφόρου πατρὸς ἡμῶν Νικολάου, τοῦ ἐν τῷ Ὄρει τοῦ Νεοτάκου ἀσκήσαντος.**

Οὗτος ὁ ὅσιος πατὴρ ἡμῶν Νικόλαος, γέννημα καὶ θρέμμα ὑπῆρχεν τῆς περιφήμου πόλεως Σικελίας, ἐκ βρέφους δὲ τῷ Θεῷ οἰκειωθείς, καὶ τὴν τῶν Μοναχῶν πολιτείαν ποθήσας, ἐγκαταλειπὼν Κόσμον, καὶ τὴν αὐτοῦ ἀπάτην καὶ τὴν αὐτοῦ Πατρίδα, μετανάστης γίνεται, καὶ καταλαβὼν τὴν νῆσον Εὔβοιαν, ἔρχεται εἰς ἔρημον, καὶ δύσβατον (ᾧ ὄνομα Χαράδρα) τόπον πλησίον αἰγιαλοῦ, κἀκεῖσε Μονήν τινα εὑρὼν τιμωμένην τῆς ὑπεραγίας Θεοτόκου, ἐμφανίζει ἑαυτόν, τῷ Ἡγουμένῳ. Ἐν τούτῳ μικρὸν προσκαρτερήσας, ἀλλ' ὁ πόθος τῆς ἡσυχίας ἐπυρπόλει αὐτοῦ τὴν καρδίαν, βαλὼν οὖν μετάνοιαν τῷ Ἡγουμένῳ. Καὶ τοῖς Ἀδελφοῖς, μετανάστης γίνεται τῆς ἐκεῖθεν καὶ ἐλθὼν ἐν τῷ Ὄρει καλουμένῳ Νεόταξ, ὀλίγον δὲ προσμείνας ἐν αὐτῷ, βουλὴν βουλεύεται ἀγαθήν, τοῦ ἐγεῖραι Ναὸν εἰς δόξαν Θεοῦ, καὶ τοῦ μεγάλου Νικολάου τοῦ ἐν Μύροις, ἦν δὲ ὁ τόπος δύσβατος καὶ συνη-

ρεφεῖς, καὶ λίαν ἀγριώτατος, κατὰ φάραγγα γὰρ ἦν, ἄνωθεν
τοῦ ἐκεῖσε ποταμοῦ, ἀλλ' ἐγγὺς τοῦ μέλλοντος δομηθέντος
Ναοῦ, οὐκ' ἦν ὕδωρ, ὅμως πολλὰ περὶ τούτου δεόμενος ὁ Ὅ-
σιος, τοῦ ποθουμένου οὐ διήμαρτεν.

Ἐν μιᾷ οὖν τῶν νυκτῶν δεόμενος ὁ Ὅσιος, καὶ τῇ προ-
σευχῇ προσκαρτερῶν, φωτοφανίας θείας ἠξιώθη ἐν τῷ τόπῳ
ἐν ᾧ ἔμελλεν ἀνεγεῖραι τὸν Ναὸν, ἰδὼν οὖν ὁ Ἅγιος καὶ
πληροφορηθεὶς τῇ καρδίᾳ, καὶ ὡς εἰπεῖν, ὅλως τῇ ψυχῇ ἀ-
γαλλιασθεὶς, ἄρχεται τοῦ ἔργου, τῆς θείας χάριτος αὐτῷ συ-
νεργούσης, πάντοθεν θαυματουργεῖ αὐτῷ ὁ Κύριος, ὡς πάλ
λαι Μωϋσῆς, ἐκεῖνος πατάξας τὴν πέτραν, καὶ διὰ τῆς προ-
κρούσεως ἐρρύησαν ὕδατα, οὗτος δὲ διὰ προσευχῆς τὴν ἄνυ-
δρον, ὑδατόβρυτον ἐποίησεν καὶ εὔχρηστον καὶ πότιμον πα-
ρεσκεύασεν· ὃ καὶ τὴν σήμερον ὁρᾶται εἰς δόξαν Θεοῦ, ἄνω-
θεν τοῦ Ναοῦ, ῥεόντων διαυγῶν ὑδάτων κατὰ τὸ κατωφερὲς
τοῦ Ὄρους μέχρι τοῦ Ναοῦ· εἶτα πορευθεὶς εἰς τὸ προρρη-
θὲν Μοναστήριον τῶν χαράδρων, καὶ λαβὼν μοναχοὺς ἔρ-
χεται πάλιν εἰς τὸ Ὄρος τοῦ νεὄτακος, καὶ ἐν τῷ τόπῳ, ᾧ
εἶδεν τὴν φωτοφανίαν, ὀρύξας κατέβαλλε βάθραν τοῦ Ναοῦ
Θεοῦ συνεργοῦντος, ἀνεγείρας περίφημον Ναὸν εἰς ὄνομα
τοῦ μεγάλου πατρὸς ἡμῶν Νικολάου τοῦ ἐν μύροις, ἀπαρτή-
σας τοίνυν τὸν Ναὸν, καὶ ἄνωθεν τῶν ὑψίδων τῆς στέγης τοῦ
ἱεροῦ Ναοῦ, θυσιαστήριον ἐπιτελέσας τῇ Θεομήτορι τερπνό-
τατον· καὶ ἅπαντα κατασκευάσας. Ποιμὴν ὑπὸ τῶν ἐκεῖσε
ἐλθόντων μοναχῶν ἐγένετο, πολλοῖς καὶ ἄλλοις ἔπειτα μο-
ναχοῖς συναθροίσας ἐν τῇ Μονῇ, ἀλλὰ ποία γλῶσσα δυνήσε-
ται ἐξειπεῖν τὴν ἄκραν τούτου σκληραγωγίαν, τὴν ἄσκησιν,
τὴν πρὸς πάντας ἀγάπην, τὴν πραότητα, τὸ ἄμωμον δακρυ-
ον, τὴν κατὰ τῶν δαιμόνων πάλιν καὶ νίκην καὶ τὴν ἁπάν-
των φροντίδα καὶ μέριμναν, ἐξ αὐτῶν πάντων τὸ σῶμα τα-
πεινώσας καὶ νεκρώσας ὡς ἀσώματος διῆγεν ἐν τῷδε τῷ βίῳ
τοῦ φθαρτοῦ γὰρ καταφρονήσας, τὴν ψυχὴν ἐζωοποίησε παν
τοῦθεν τὴν τῶν θαυμάτων ἐνέργειαν κατὰ πλουτίζεται, καὶ



οὐ μόνον ἐν τῷδε τῷ βίῳ, ἀλλὰ καὶ μετὰ θάνατον θαυμα-
τουργεῖν οὐ παύεται εἰς δόξαν Πατρὸς, καὶ υἱοῦ καὶ ἁγίου
Πνεύματος, τῆς μακαρίας Τριάδος, τῆς μιᾶς Θεότητος, καὶ
βασιλείας· ἧς πρέπει κράτος, προσκύνησις, καὶ μεγαλοπρέ-
πεια, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ἀναγκαῖον δὲ εἰπεῖν καὶ ἐκ τῶν θαυμάτων τοῦ Ἁγίου**

Τοῦ Ὁσίου καθημένου ποτὲ ἐπὶ τοῦ ὄρους, ἄνω-
θεν τῆς προειρημένης πηγῆς, στρουθός τις
ἐλθὼν κατ' ἔναντι αὐτοῦ, συχνοτέρως ἐκ κοι-
λάδος ὁ Ὅσιος οὖν ἐπιτιμήσας αὐτὸ, διὰ τοῦ
τύπου τοῦ Σταυροῦ ποιήσας, εἰς λίθον τὸ στρουθίον μετέβα-
λε καὶ ὁρᾶται τοῦτο μέχρι τῆς σήμερον. Ἡ δὲ πηγὴ ὡς ἄ-
νωθεν δεδηλώκαμεν, διὰ προσευχῆς καὶ δεήσεως τοῦ Ὁσίου
ἀνέβλησε. Ἀλλὰ καὶ οἱ τῶν Ἀγαρινῶν παῖδες συλλαβόντες
τοῦτον, μετὰ καὶ ἄλλων πολλῶν, καὶ ἀπὸ τοῦ κλύδωνος
τῆς θαλάσσης, πάντες ἔμελλον ἀπολέσθαι, καὶ ἀπὸ τῆς δί-
ψης ἀποκαμόντες, ἔμελλον, ἀποθνήσκειν. Ἀλλ' ὁ Ὅσιος διὰ
προσευχῆς καὶ τὸν κλύδωνα κατέπαυσε, καὶ τὰ ἁλμυρὰ τῆς
θαλάσσης ὕδατα εἰς γλυκαῖα μετέβαλεν, καὶ πιόντες ἐχορ-
τάσθησαν, ὅθεν τὸ παράδοξον τοῦ θαύματος οἱ τῶν Ἀγαρι-
νῶν παῖδες ἰδόντες, ἐπέστρεψαν εἰς τὴν Μονὴν τοῦ Ὁσίου,
αὐτὸν δὲ καὶ τοὺς μετ' αὐτοῦ αἰχμαλώτους, ἅπαντας ἐλευ-
θέρωσαν. Ἀλλὰ καὶ τίς μὴ θαυμάσει, τὴν τοῦ Ἁγίου σω-
φροσύνην οὐκ ἠνέσχετο γὰρ πόποτε θεάσασθαι, πρόσωπον
γυναικὸς, ἀλλὰ καὶ ὅρον θεὶς, μηδέποτε εἰσέρχεσθαι ἐν τῷ
Μοναστηρίῳ γυναῖκας οὐ μόνον ἐν τῷ βίῳ αὐτοῦ, ἐνομοθέ-
τισε τοῦτο, ἀλλὰ καὶ μετὰ τέλους αὐτοῦ, καὶ εἰς ἀπεράν-
τους χρόνους. Καλῶς οὖν καὶ θεαρέστως πολιτευσάμενος,
καὶ τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, θεαρέστως ποιμάνας, καὶ
μάνδραν ἁγίαν καταρτίσας, ἀνεπαύσατο ἐν Κυρίῳ καὶ ἐτά-
φη ἐν τῷ ὑπ' αὐτοῦ δομηθέντι Ναῷ, αὐγούστου: κγ: φθίνον-
τος, καὶ κεῖται ἐν τοῖς δεξιοῖς μέρεσι εἰσιόντι τοῦ Ναοῦ ὑ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὕστερον δὲ λέγεται ὅτι ἀνεκομίσθη τὸ τίμιον αὐτοῦ λείψανον ἐν Κωνσταντινουπόλει. Τινὲς δὲ πάλιν λέγουσιν, ὅτι ἐν τῇ δεξιᾷ καμάρᾳ τοῦ Ναοῦ κεῖται, ἔνθα καὶ ἡ εἰκὼν αὐτοῦ ἐζωγράφηται, θαυματουργοῦντος ἀπείρως καὶ μετὰ θάνατον, καὶ τοῦ ποιμνίου αὐτοῦ, οὐκ ἐπιλανθανομένου καθὼς καὶ ἐν τῷ κώδικι περιλαμβάνεται, ὅτε γὰρ ἰδιοχείρως ἔγραψε. «Ἀδελφοὶ καὶ Πατέρες, ἐὰν μὴν ἐκστεῖτε τῶν ὧδε, οὐκ ἀναχωρῶ κἀγὼ οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι,» οὕτω γὰρ ὁ Ὅσιος προπαραγγείλας ἐξέθετο. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Ἀμήν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ὁ βίος ἰσάγγελος, πάτερ Θεόφρων ἡ πολιτεία σου, ὑπὲρ Ἄνθρωπον ὄντως, ὁ τρόπος θεῖος καὶ ὥρας ὤθησαν αἱ λαλιαί σου, τῷ Κυρίῳ μέλψωμεν, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Πηγάζει χαρίσματα, τῶν ἰαμάτων Ναὸς ὁ θεῖος σου, καὶ καρδίας εὐφραίνει τῶν προστρεχόντων τοῦτο μακάριε, οἱ καὶ τὸν ὕμνον τῶν Παίδων κραυγάζουσι, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὑμνεῖτε τὸ ὄνομα τοῦ Θεοῦ Πάτερ, ἐν τῷ τεμένει σου συντρεχόντων ἐν τούτῳ λαῶν ἀπείρων, καὶ τοῦ δυσβάτου δὲ καταφρονούντων τῆς ὁδοῦ, ψαλλόντων δὲ ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Λαθοῦσα τῆς φύσεως τοὺς Νόμους, Κόρη Θεὸν ἐκύησας, ὃν καὶ φέρεις ἀγκάλαις, ὑπὸ Ἀγγέλων ὑμνολογούμενον, ἀλλὰ μὴ παύσῃ τοῦτον ἱκετεύουσα, παρθένε Κόρη ἁγνή, ὑπὲρ τοῦ Κόσμου παντός.

*Ἄλλος. Ἄφραστον Θαῦμα.*

Πλοῦτον γονέων καὶ τὰς ὀρέξεις τοῦ σώματος, ἐλογήσω σκύβαλα σοφέ, πατρίδος διὸ ἐπανάστης γέγονας καὶ



τοῦ Νεκτάκου ἐγγύσας συμψάλλεις, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ ἐρήμῳ, ὥσπερ ἀστὴρ φαεινότατος ἀνεδείχθης, λάμπων καὶ νυκτὸς βαθείας δεινόν, ὕπνον ἀπεδίωκες, τῶν προστρεχόντων τῷ Ναῷ σου τῷ Ἁγίῳ, καὶ ὑπερυψούντων Θεὸν εἰς τοὺς αἰῶνας.

Βίου κινδύνων, καὶ συμφορῶν τε καὶ θλίψεων, τοὺς σοὺς δούλους καὶ πόθῳ, καὶ τῇ σῇ μάκαρ κραταιᾷ, σκέπῃ καταφεύγοντες ὡς θαυμασίαν χάριν πλουτίσας ἀσκητῶν καλονή, καὶ μοναστῶν τὸ κλέος.

Τῶν ῥαθυμούντων, σὺ εἶ βεβαία ἀντίληψις καὶ προστάτης τέτοκας καὶ γὰρ πάντων τῶν βροτῶν, τῶν τὰς λύπας ἄραντα καὶ εὐφροσύνην πηγάσαντα τῷ Κόσμῳ πανευλόγητε κόρη θεία.

**ᾠδὴ η' .. Ἑπταπλασίως κάμινον**

Ἐν τῷ σεπτῷ τεμένει σου, πιστῶς Πάτερ συτρέχουσιν, ἄπειρος Λαὸς καὶ προσκυνοῦσι χαίροντες, θείαν Εἰκόνα σου, πόθῳ κατασπαζόμενοι, καὶ τὸν σὲ δοξάσαντα Θεὸν ἀνυμνοῦσι, καὶ κράζουσιν συντόνως. Ἱερεῖς εὐλογεῖτε Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καινοφανῆ τεράστια, τὰ ὑπὸ σοῦ Νικόλαε, βλέποντες πιστοὶ ξενοπρεπῶς τελούμενα, θερμῶς καταφεύγομεν ἐν τῷ σεπτῷ σου τούτῳ Ναῷ ὃ ἀνῳκοδόμησας, εἰς μοναζόντων ἄθροισιν τῶν θελόντων σωθῆναι εἰς κατοίκησιν Πάτερ ἀλλὰ μὴ διαλείπῃς ὑπὲρ ἡμῶν πρεσβεύειν.

Ὡραῖος εἶ εἰς ὅρασιν καὶ καλῶς παμμακάριστε, ὡς ἀπὸ τῆς ἔξωθεν πολλῆς τῆς λαμπρότητος, τὴν ἔνδον φαιδρότητα, τῆς Ψυχῆς δεικνῦσθαι, τοῖς ἀνατενίζουσι τῇ θείᾳ μορφῇ σου καὶ γλίχεσθαι σὺν ψάλλειν, μετὰ σοῦ τῷ Κυρίῳ, Λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Θεοτοκίον

Οὖσα Θεοῦ τὸ σκήνωμα, καὶ πανάγιον τέμενος, στάμνε μαννοδόχε, κιβωτὲ τῆς χάριτος, καὶ κλίμαξ Οὐράνιε, σὺν Νικολάῳ τῷ Ἱερῷ, καὶ ταῖς στρατιαῖς τῶν Οὐρανίων ταγμάτων, καὶ πᾶσι τοῖς Ἁγίοις, τὸν υἱὸν καὶ Θεόν σου, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ ὑμνούντων.

### Ἄλλος. Ἔστιθι φρίττων Οὐρανὲ

Ὅλην τὴν ἔφεσιν σοφὲ, Θεῷ ἀνέτεινας, καὶ ἐμάκρυνας αὐτὸν, ἀγάπης τῆς τοῦ Κόσμου σχέσεως, καὶ ἀνετέθης αὐτῷ ἐκβρέφους μόνῳ προσέχων ὅλως πατρίδα καταλείψας, καὶ γονεῖς καὶ οἰκείοις, καὶ τῷ Θεῷ προσάδων ᾠδὴν εἰς τοὺς αἰῶνας.

Ὕμνον ἐξ ὅλης τῆς ψυχῆς, καὶ διανοίας τε, καὶ αἰσθήσεων παθῶν, παμμάκαρ, αἶνον μοι πέφυκεν, εἰ καὶ ἀναξίως ὢ ἔχω χείλεσιν αἰσχίστοις, καὶ βεβήλοις ἐν ἔργοις, ἀλλὰ καθάρισόν μου τὸ ῥυπαρὸν τῶν ἔργων, Νικόλαε παμμάκαρ.

Τῇ εὐωδίᾳ τοῦ Χριστοῦ, σφόδρα ἡδυνήθει σου, τῆς Ψυχῆς τὸ τριμερὲς ὀπίσω τούτου, λοιπὸν ἀσκήσεως ταῖς πόνοις, καὶ νῦν ἐν Παραδείσῳ τῆς τρυφῆς συναυλίζει, μετὰ τῶν Ὁσίων, καὶ πάντων τῶν Ἁγίων.

### Θεοτοκίον

Ἔχω σὲ μόνην ἀρωγὴν ἐν πάσαις θλίψεσιν, καὶ ταῖς ζάλαις ταῖς ἀεὶ, ἐξαίφνης, σφόδρα συμβαινούσαις μοι, ἁμαρτιῶν ἐκ πληθὺν παρθένε ἀπείρανδρε Μαρία οὐ δειλῶν οὐδόλως πάντα γὰρ διαλύεις ἔχουσα παρρησίαν πρὸς τὸν ἐκ σοῦ τεχθέντα.

### ᾨδὴ θ. Ἔφριξε πᾶσα ἀκοὴ

Τῶν ἀρετῶν ὑπογραμμὸς, σώφρων ἱλαρὸς ἀγαθώτατος, ἁπλοῦς ἀόργητος, οἰκτείρμων Πάτερ καὶ ἁγιώτατος,



καὶ σωφροσύνης ποδηγὸς καὶ κανὼν εὐθύτητος, ὤφθης μέγιστε, παροικῶν μὲν ἐπὶ Γῆς τῷ Θεῷ δὲ συνών.

Ἄγε δὴ πλῆθος τῶν πιστῶν, Ἱερὰ καὶ θεοφόρος ὁμήγυρις, ἐπὶ τοῦ μάκαρος, μνήμη τῇ θείᾳ τερπνῶς συνέλθατε, χαρμονικῶς τε προσφωνῶν. Θεῷ προσάξατε, λιταῖς Νικολάου, τὸ τρισάγιόν καὶ θεῖον μελῴδημα

Νῦν Νικόλαε σοφὲ, τὸν προμηθείᾳ τῇ σῇ προσπελάσαντα, ἐκ πολυτρόπων δεινῶν, καὶ ὁρμηκότα ἐν τῷ λιμένι σου ἀπὸ παντοίων τοῦ ἐχθροῦ παθῶν ἐλευθέρωσον, καὶ τοὺς τὴν μνήμην σου, ἑορτάζοντας, φαιδρῶς διαφύλαξον.

Ἄναρχε ἄκτιστε μονὰς, ὑμνοῦμεν ἐν τρισὶν ὑποστάσεσι Θεὲ ἀκατάληπτε, ταῖς τοῦ Νικολάου τοῦ σοῦ θεράποντος πρεσβείαις σῶζε τὸν λαὸν πάντα τὸν χριστώνυμον, ἀπὸ παντὸς πειρασμοῦ καὶ τρυφῆς κειδιν. ἀξίωσον.

### Θεοτοκίον

Σὲ πάντες ἔχομεν πιστοὶ, καταφύγιον Παρθένε πανύμνητε, καὶ παραμύθιον, καὶ προστασίαν, καὶ ἱλαστήριον. τεῖχος καὶ σκέπην κραταιὰν, καὶ λιμένα εὔδιον, καὶ ἀγαλλίαμα καὶ παράκλησιν, καὶ θείαν ἀντίληψιν.

### Ἄλλος. Μὴ ἐποδύρου μου Μήτηρ

Κατ' ᾤκτειρας αἰχμαλώτους, τρυχωμένους ἐν δίψει οὓς εἶχον, βαρβάροις σὺν σοὶ, ποτίσας ἡδὺ πόμα τῆς θαλάσσης, φρικτὸς ἀμείψας, κἀμὲ πότισον, μάκαρ τῷ καύσωνι δεινῶς, φλογιζόμενον σφόδρα τῶν πταισμάτων μου.

Σὺν σοὶ εὐφραίνῃ παμμάκαρ, μετὰ τῶν Ἁγίων ἀνελλειπῶς ὑπὲρ ἡμῶν, αἰτοῦμεν Θεῷ, τοῦ δοθῆναι πταισμάτων τὴν ἀπολύτρωσιν καὶ βαθεῖαν εἰρήνην, νόσων βλαβερῶν, τὴν ὑγίαν τοῖς τῷ Ναῷ σου προστρέχουσι.

Οἱ καταφεύγοντες πίστει τῷ ναῷ σου τῷ θείῳ τῶν λυπηρῶν λυτρούμενοι εὐχάριστον ᾠδὴν ἀναπέμπομεν τῷ Θεῷ τῷ σοὶ δοξάσαντι τὴν ἁγίαν σου μνήμην, ὑμνοῦμεν δὲ σὺν σοὶ τὸν Νικόλαον, θεῖον τὸν συνώνυμον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Θεοτοκίον

Ὑπεραγία παρθένε, τῶν Ἀγγέλων ἡ δόξα, Πατριαρχῶν καὶ ἀποστόλων καύχημα φαιδρὸν, καὶ Μαρτύρων Χριστοῦ τὸ ἐγκαλώπισμα, Ἀσκητῶν καὶ Δικαίων, ἁγίασμα φαιδρὸν, ταῖς λιταῖς Νικολάου πάντας περίσωζε.

### Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς Ἄστροις·

Τὴν τῶν θαυμάτων χάριν λαβόντα παρὰ Κυρίου, τὸ βλάστημα Σικελίας, καὶ τοῦ Νεκτάκου λαμπτῆρα Νικόλαον εὐφημοῦμεν, τὸν θαυμαστὸν ἐν Ὁσίοις.

### Ἕτερον Ἐν πνεύματι τῷ Ἱερῷ.

Φωστὴρ ἐγένου Ὅσιε, μοναζόντων ἀ/ήπτης, καὶ ἀρχηγὸς Νικόλαε, νεοτάκου τὸ κλέος διδάσκων οἷα ποιμὴν, γενναῖος, καὶ στρατηγέτης ἄριστος ἐφόδοις μὴ πτοεῖσθαι, τὰς τῶν Δαιμόνων, ἀρ̀ρ̀υγὸν κεκτημένοι τὸν Χριστὸν, τῆς πλάνης τὸν καθαιρέτην.

### Καὶ τῆς Ἑορτῆς Εἰς τοὺς αἴνους ἱστῶμεν (στιχ. στ) καὶ Ψάλλομεν πρῶτον τῆς Ἑορτῆς Εἶτα τοῦ Ὁσίου ἦχος Γ.

### Ἔδωκας σημείωσιν

Βίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πρᾳότητα, καὶ ἀγάπην ἀνόθευτον, ἐγκράτειαν ἄμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν ἐλπίδα ἀληθῆ, ἐν συμπαθείᾳ Πάτερ κτισάμενος, Νικόλαε μακάριε, βεβιωκὼς, ὥσπερ Ἄγγελος, ἐπὶ Γῆς μετὰ σώματος, πρέσβευε τὰ τῶν Ψυχῶν ἡμῶν.

Ἐπίγειος Ἄγγελος, καὶ Ἐπουράνιος Ἄνθρωπος χρηματίσας Ὅσιε, πηγὴ κατανύξεως, συμπαθείας ῥεῖθρον πέλαγος θαυμάτων ἁμαρτωλῶν ἐγγυητὴς, ἐλαίας ὄντως Θεοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



κατάκαρπος, ἐλαίῳ τῶν καμάτων σου, καθιλαρύνων τὰ πρόσωπα, παμμακάριστε Ὅσιε, πρέσβευε τὰ τῶν Ψυχῶν ἡμῶν.

Ὁ νοῦς σου λαμπόμενος, ταῖς θεϊκαῖς ἐπινεύσεσι, τῶν τοῦ σώματος ὕπερθεν παθῶν ἐχρημάτισεν, ἀμιγὴς τῶν κάτω, φέρων χαρακτῆρας, καὶ ἐκ τυπῶν ἐν ἑαυτῷ τὸ θεῖον κάλλος, καὶ γνωριζόμενος, ὅλως φωτοειδέστατος, τῇ συνεργείᾳ τοῦ Πνεύματος, Θεοφόρε Νικόλαε μοναζόντων ἀγλάϊσμα.

Ὅσιος καὶ ἄκακος καὶ συμπαθὴς καὶ φιλάνθρωπος καὶ φιλόθεος Ὅσιε, ὡράθης καὶ μέτριος, ἥσυχος καὶ πρᾶος Ἄγγελος καθάπερ βεβιωκὼς ἐπὶ τῆς Γῆς Ἀγγέλου βίον ὄντως ἐζήλωσας, διὸ σὲ μακαρίζομεν χρεωστικῶς καὶ τὴν κόνιν ἀσπαζόμεθα σήμερον, ἵνα πίστει σωζώμενοι.

### Δόξα ἦχος πλ. ά.

Δεῦτε φιλεόρτων ὁ σύλλογος, Νικόλαον τὸν ἀοίδιμον, ᾀσματικοῖς ἄνθεσιν εὐφημῶν καταστέψωμεν οὗτος γὰρ ὡς ποταμὸς ἀείροος τοῦ Πνεύματος, τῆς Ἐδὲμ ἐξορμήσας τέτρασιν ἀρχαῖς ἀρετῶν τὸν τετραπέρατον Κόσμον κατήρδευσεν, τὸν ἀχμῷ τῆς ἁμαρτίας διψήσαντα εἰς ἑαυτὸν καρποφορεῖς Εὐαγγελικῶς παρεσκεύασεν τῆς γῆς οὐκ ἔγνω τὰ τούτου τεράστια, Ἱερεῖς, καὶ Βασιλεῖς Μονασταὶ καὶ μιγάδαι εὐφροσύνως ἀνακηρύττουσι, διὸ καὶ ἡ σορὸς τῶν λειψάνων αὐτοῦ πελαγίζει πᾶσι τοῖς προσιοῦσι τὰ ἰάματα, καὶ ὡς Μῦρον ἐκλεκτὸν, εὐωδιάζει τὴν ποίμνην αὐτοῦ. Ἀλλ ὦ τοῦ σταυροφόρου βίου κανὼν ἀκριβέστατε, τῆς ἐρήμου πολιστὰ καὶ ἀσκητῶν ἐγκαλλώπισμα μὴ παύσῃ πρεσβεύων πρὸς Κύριον, τῶν ἐκτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

### Καὶ νῦν τῆς Ἑορτῆς